Similia sunt quae apud Scholiastam ad O. C. 1375. legimus: *τουτο ἁπαξάπαντες οἱ πρὸ ἡμῶν παραλελοίπασιν· ἔχει δὲ τὰ ἀπὸ τῆς ἱστορίας οὕτως· οἱ περὶ Ἐτεοκλέα καὶ Πολυνείκην δι' ἔθους ἔχοντες τῷ πατρὶ Οἰδίποδι πέμπειν ἐξ ἑκάστου ἱερείου μοῖραν τὸν ὦμον, ἐκλαθόμενοί ποτε, εἴτε κατὰ ῥαστώνην εἴτε ἐξ ὅτου οὖν, ἰσχίον αὐτῷ ἔπεμψαν· ὁ δὲ μικροψύχως καὶ τελέως ἀγεννῶς, ὅμως γοὺν ἀρὰς ἔθετο κατ' αὐτῶν δοξας κατολιγωρεῖσθαι. Ταῦτα ὁ τὴν κυκλικὴν Θηβαΐδα ποιήσας ἱστορεῖ οὕτως·*

*Ἰσχίον ὡς ἐνόησε, χαμαὶ βάλεν, εἶπέ τε μῦθον·*
*ὤμοι ἐγώ, παῖδές μοι ὀνείδειον τόδ' ἔπεμψαν.*
*εὔχθω Διὶ βασιλῆϊ καὶ ἄλλοις ἀθανάτοισι*
*χερσὶν ὑπ' ἀλλήλων καταβήμεναι Ἄϊδος εἴσω.*

*Τὰ δὲ παραπλήσια τῷ ἐποποιῷ καὶ* Αἰσχύλος *ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβαις. καὶ ἔοικε τὸ τῆς ἱστορίας ἥκειν ἐπὶ πολλούς, ὡς καὶ παρά τινι ἐκτεθῆναι αὐτὰ πρὸς τὸ γελοιότερον διὰ τούτων*[7]·

*Ἀεὶ δ' ὁρῶντί γ' ὀξύ, καὶ τυφλὸς ἦν.*
*θυσίας γὰρ ἀπαρχὰς γέρας ἐπέμπομεν πατρί,*
*περισσὸν ὦμον, ἔκκριτον γέρας· τὸ δή*
*γε συγκόψαντες, οὐ μεμνημένοι,*
*λήσειν δοκοῦντες, ἀντὶ τοῦ κεκομμένου*
*ἐπέμψαμεν βόειον· ὁ δὲ λαβὼν χερὶ*
*ἔγνω 'παφήσας, εἶπέ τ' ἐκ θυμοῦ τάδε·*
*τίς μοι τόδ' ἀντόμοιον μισητὸν κρέας*
*πέμπων; γέλω δή με ποιοῦνται κόροι,*
*θύοντες ὕβρει· τυφλὸς οὔ τοι γνώσεται,*
*οὕτω λέγοντες· Ὦ θεοί, μαρτύρομαι*
*ἐγὼ τάδ' ὑμᾶς, καὶ κατεύχομαι κακὰ*
*αὐτοῖσιν, αὐτοὺς τῶνδε δὶς τόσα σχέθειν.*
*χαλκῷ δὲ μαρμαίροντες ἀλλήλων χρόα*
*σφάζοιεν ἀμφὶ κτήμασιν βασιλικοῖς*

*Καὶ Μένανδρος ἐν Ναυκλήρῳ·*

*Ὅ τε Πολυνείκης πῶς ἀπώλετ' οὐχ ὁρᾷς;*

De hac Scholiastae adnotatione rectissime mihi G. Dindorfius Praefat. Annot. ad Soph. Tragg. Oxon. 1836. edit. p. X sqq. iudicasse videtur, ut non possim, quin ipsa eius verba adscribam: „Nihil in his est," inquit, „quod ex antiquioribus grammaticis petitum esse possit praeter ea, quae ex Thebaide et Aeschyli Menandrique fabulis afferuntur. Cetera quinti ad summum sextive, vel inferioris adeo saeculi hominem produnt; quod quum non animadvertissent critici, ignoti istos poetae senarios de Oedipo alii ex tragici alicuius dramate satyrico esse excerptos iudicarunt, quae Elmsleii fuit sententia ad Euripidis Medeam p. 91., alii ad Eubulum aliosve comicos rettule-

7) In his qui sequuntur versibus diligentissime servandas codicis scripturas putavi, etiam manifesto vitiosas.